οὐδὲ ἡ τῶν πολλῶν ὑπόληψις. ἵνα φύγῃς δόξαν πονηράν· οὐδὲ τὸ ζῆν ἁπλῶς καὶ εἰκῆ, ἵνα φοβερός σοι γένηται ὁ θάνατος· οὐδὲ ἐλευθερία, ἵνα δουλείαν φύγῃς· ἀλλ' ἡ τῶν ἀληθῶν δογμάτων ἀκρίβεια καὶ ἡ κατὰ τὸν βίον ὀρθότης. ταῦτα δὲ οὐδὲ αὐτὸς ὁ διάβολος ἀποσυλῆσαι δυνήσεται, ἐὰν ὁ κεκτημένος αὐτὰ μετὰ τῆς προσηκούσης ἀκριβείας διαφυλάττῃ. καὶ ταῦτα καὶ ὁ πονηρότατος καὶ ἄγριος δαίμων ἐκεῖνος οἶδε. διὰ γάρ τοι τοῦτο καὶ τὴν οὐσίαν ἐσύλα τοῦ Ἰὼβ, οὐχ ἵνα πένητα ποιήσῃ, ἀλλ' ἵνα βλάσφημόν τι ῥῆμα ἐκβαλεῖν βιώσηται, καὶ τὸ σῶμα κατέτεμνεν, οὐχ ἵνα ἀρρωστίᾳ περιβάλλῃ, ἀλλ' ἵνα ὑποσκελίσῃ τὴν κατὰ ψυχὴν ἀρετήν. ἀλλ' ὅμως πάντα αὐτοῦ κινήσας τὰ μηχανήματα, καὶ πένητα αὐτὸν ἐκ πλουτοῦντος ποιή-

*ut timeas morbum; non multitudinis opinio, ut suspectã habeas existimationẽ malã; nec vita per se sola sine adiectione, certoq́; ꝓposito fine, ut mors tibi formidabilis existat; nec libertas, ut seruitutẽ fugias, sed veræ doctrinæ diligens studium, & vitæ honestas. Hæc verò ne ipse diabolus poterit eripere, si possessor ea, qua par est, cura custodiat: idq́; nequissimus & truculentus ille dæmõ nouit. Hanc enim ob caussam etiam Iob bonis spoliauit, non ut eum pauperem redderet, sed ut maledicum aduersus Deum aliquod verbum efferre cogeret: & corpus concidit, non ut in morbum coniiceret, sed ut animæ virtutẽ labefactaret. Sed tamen cum omnes suas machinas*

Iob patientia.